## 179. THE BURIAL OF JESUS (Mk-Lk Identical)

| Mark 15:42-47 | Luke 23:50-56 |
|---|---|
| *Καὶ ἤδη ὀψίας γενομένης,* | |
| *ἐπεὶ ἦν παρασκευή,* | |
| *ὅ ἐστιν προσάββατον,* | |
| *43 ἐλθὼν* | *Καὶ ἰδοὺ ἀνὴρ* |
| *Ἰωσὴφ ὁ ἀπὸ Ἁριμαθαίας* | *ὀνόματι Ἰωσὴφ* |
| *εὐσχήμων βουλευτής,* | *βουλευτὴς ὑπάρχων* |
| | *καὶ ἀνὴρ ἀγαθὸς καὶ δίκαιος--* |
| | *51 οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν--* |
| | *ἀπὸ Ἁριμαθαίας* |
| | *πόλεως τῶν Ἰουδαίων,* |
| *ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος* | *ὃς προσεδέχετο* |
| *τὴν βασιλείαν τοῦ θεοῦ,* | *τὴν βασιλείαν τοῦ θεοῦ,* |
| *τολμήσας εἰσῆλθεν* | *52 οὗτος προσελθὼν* |
| *πρὸς τὸν Πιλᾶτον* | *τῷ Πιλάτῳ* |
| *καὶ ᾐτήσατο* | *ᾐτήσατο* |
| *τὸ σῶμα τοῦ Ἰησοῦ.* | *τὸ σῶμα τοῦ Ἰησοῦ,* |
| *44 ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν, καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν· 45 καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος* | |
| *ἐδωρήσατο τὸ πτῶμα τῷ Ἰωσήφ.* | |
| *46 καὶ ἀγοράσας σινδόνα* | *53 καὶ* |
| *καθελὼν αὐτὸν* | *καθελὼν* |
| *ἐνείλησεν τῇ σινδόνι* | *ἐνετύλιξεν αὐτὸ σινδόνι,* |
| *καὶ ἔθηκεν αὐτὸν* | *καὶ ἔθηκεν αὐτὸν* |
| *ἐν μνημείῳ* | *ἐν μνήματι* |
| *ὃ ἦν λελατομημένον ἐκ πέτρας,* | *λαξευτῷ* |
| | *οὗ οὐκ ἦν οὐδεὶς οὔπω κείμενος.* |
| *καὶ προσεκύλισεν λίθον* | |
| *ἐπὶ τὴν θύραν τοῦ μνημείου.* | |
| | *54 καὶ ἡμέρα ἦν παρασκευῆς, καὶ σάββατον ἐπέφωσκεν. 55 Κατακολουθήσασαι δὲ αἱ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι ἐκ τῆς Γαλιλαίας αὐτῷ,* |

| | |
|---|---|
| 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ | |
| καὶ Μαρία ἡ Ἰωσῆτος | |
| ἐθεώρουν | ἐθεάσαντο τὸ μνημεῖον |
| ποῦ τέθειται. | καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ, |
| | 56 ὑποστρέψασαι δὲ ἡτοίμασαν<br>ἀρώματα καὶ μύρα. |
| | Καὶ τὸ μὲν σάββατον ἡσύχασαν<br>κατὰ τὴν ἐντολήν, |

42 matches out of 199 words = 21%